ePublishing
ΕΘΝΙΚΟ ΚΕΝΤΡΟ ΤΕΚΜΗΡΙΩΣΗΣ NATIONAL DOCUMENTATION CENTRE

## Μακεδονικά

Τόμ. 6, Αρ. 1 (1965)




# Ιδρυτικά έγγραφα περί της Ελληνικής Σχολής Βελβεντού

*Ν. Π. Δελιαλής*

doi: 10.12681/makedonika.551

Copyright © 2015, Ν. Π. Δελιαλής

Άδεια χρήσης Creative Commons Attribution-NonCommercial-ShareAlike 4.0.

**Βιβλιογραφική αναφορά:**

Δελιαλής Ν. Π. (1965). Ιδρυτικά έγγραφα περί της Ελληνικής Σχολής Βελβεντού. *Μακεδονικά*, *6*(1), 266–274. https://doi.org/10.12681/makedonika.551

https://epublishing.ekt.gr | **e-Εκδότης:** EKT | **Πρόσβαση:** 10/05/2024 23:56:30

## ΙΔΡΥΤΙΚΑ ΕΓΓΡΑΦΑ
## ΠΕΡΙ ΤΗΣ ΕΛΛΗΝΙΚΗΣ ΣΧΟΛΗΣ ΒΕΛΒΕΝΤΟΥ

Δημοσιεύομεν κατωτέρω δύο ἐπίσημα ἔγγραφα ἀφορῶντα εἰς τὴν ἵδρυσιν τῆς Ἑλληνικῆς Σχολῆς ἐν τῇ κωμοπόλει Βελβεντοῦ τοῦ νομοῦ Κοζάνης. Τὰ ἔγγραφα ταῦτα εἶχον δημοσιεύσει παλαιότερον εἰς τὴν ἐφημερίδα «Ἠχὼ» Κοζάνης τὸ 1930 εἰς τὸ φύλλον ἀρ. 943. Ἐπειδὴ νομίζομεν ὅτι τὰ ἔγγραφα αὐτὰ εἶναι χρήσιμα διὰ τὴν ἱστορίαν τῆς παιδείας τῆς περιοχῆς μας κατὰ τοὺς χρόνους τῆς Τουρκοκρατίας, τὰ δημοσιεύομεν ἐκ νέου διὰ νὰ γίνουν εὐρύτερον γνωστά.

Ὡς γνωστόν, μετὰ τὴν Ἅλωσιν τὴν παιδείαν τοῦ γένους ἀνέλαβεν ἡ Ἐκκλησία καὶ οἱ κατὰ καιροὺς πατριάρχαι καὶ ἀρχιερεῖς ἐφρόντιζον διὰ τὴν θεραπείαν τῶν γραμμάτων.

Τὰ κατωτέρω δημοσιευόμενα ἔγγραφα εὑρίσκονται καταχωρημένα εἰς τὸν κώδικα τῆς Ἐπισκοπῆς Σερβίων καὶ Κοζάνης τῆς Δημοτικῆς Βιβλιοθήκης Κοζάνης ὑπ' ἀρ. 173 σελ. 46-50. Ἐξ αὐτῶν τὸ πρῶτον (σελ. 46-47) συνετάγη ὑπὸ τῶν προυχόντων καὶ ἱερέων τοῦ Βελβεντοῦ, ἐπεκυρώθη δὲ καὶ ὑπεγράφη ὑπὸ τοῦ ἐπισκόπου Σερβίων καὶ Κοζάνης κὺρ Ἰγνατίου. Διὰ τοῦ ἐγγράφου τούτου ζητεῖται ἡ ἄδεια λειτουργίας ἑλληνικῆς σχολῆς καὶ ἡ κατοχύρωσις τῆς σχολικῆς περιουσίας. Συνετάγη τὴν πρώτην Ἰουλίου τοῦ ἔτους 1773. Τὸ δεύτερον ἔγγραφον (σελ. 48-50) εἶναι πατριαρχικὸν σιγίλλιον, ἐγκρίνον τὴν ἀπόφασιν τῶν τοπικῶν ἀρχῶν περὶ τῆς ἱδρύσεως τοῦ σχολείου καὶ περὶ τῆς κατοχυρώσεως τῆς περιουσίας του. Ὑπογράφεται ὑπὸ τοῦ πατριάρχου Σαμουὴλ τοῦ Χαντζερῆ (1763-1768) κατὰ τὴν δευτέραν αὐτοῦ πατριαρχίαν (1773-1774). Συνετάγη κατὰ μῆνα Ἰούνιον 1774.

Εἰς τὸν κώδικα τῆς κοινότητος Βελβεντοῦ (κῶδ. 174 τῆς Δημοτικῆς Βιβλιοθήκης Κοζάνης, σελ. 235-248) εὑρίσκονται ἐπίσης καταχωρημένα τὰ δύο ταῦτα ἔγγραφα.

Κατωτέρω παραθέτομεν καὶ τὴν σχετικὴν βιβλιογραφίαν.

1.

Κῶδιξ ἀριθ. 173, Δημοτικῆς Βιβλιοθήκης Κοζάνης, Ἐπισκοπῆς Σερβίων καὶ Κοζάνης, σελ. 46 - 47.

*Ἶσον ἀπαράλλακτον τοῦ κοινοῦ γράμματος τῶν Βελβενδινῶν χριστιανῶν, περὶ τοῦ ἐκεῖσε ἑλληνικοῦ σχολείου.*

*Ἄρτος, ὁ λόγος τοῦ Θεοῦ, ᾧ ψυχαὶ τρέφονται Θεὸν πεινῶσαι, λέγει ἡ γρήγορος τοῦ Θεολόγου γλῶσσα, τὸ | 1 ἀναγκαῖον πάντως τοῦ θείου λόγου διὰ τοῦ ἄρτου ἐμφαίνων τῇ λογικῇ ψυχῇ, οὗ τὴν ἀπουσίαν καὶ ὁ Σωτὴρ ἡμῶν ἐν | 2 Εὐαγγελίοις λιμὸν ἐπωνόμασεν, λέγων, καὶ δώσω ὑμῖν οὐ λιμὸν ἄρτου, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον Θεοῦ. | 3 Οὗτος οὖν ὁ λόγος τοῦ Θεοῦ, αὕτη ἡ τροφὴ τῶν λογικῶν ψυχῶν, οὗτος ὁ λιμὸς τοῦ θείου τούτου ἄρτου, αὕτη ἡ | 4 εὐαγγελικὴ ἀρά, φθόνῳ τοῦ ψυχοφθόρου διαβόλου, ἀνέκαθεν ἐπεπόλαζεν ἐν τῇ κωμοπόλει ταύτῃ | 5 Βελβεντῷ, εἰς τρόπον ὁποῦ οἱ ἐν αὐτῷ χριστιανοί, διὰ τὴν στέρησιν τοῦ εὐαγγελικοῦ λόγου, ὡς ἔγγιστα ἀλόγων | 6 ἐγένοντο, εἰς ἔσχατον φεῦ βαρβαρότητος καὶ ἀμαθείας ἐληλακότες καὶ ἑπομένως πάσης κακίας. Τοῦτο τὸ κακὸν ὁρῶσα | 7 ἡ ἐμὴ ἐλαχιστότης ἐπιχωριάζον ἐτῶν τοσούτων οἵτε περὶ αὐτὴν εὐλαβέστατοι ἱερεῖς καὶ θεοφιλεῖς χριστιανοί, δεινόν, μᾶλλον δὲ καὶ πέραν δεινοῦ ἐποιησάμεθα, ἀλλ' εἰς τὸ παντελὲς ὑπερισχύσειε | 8 κακία σοφίας, καὶ ὁ Πονηρὸς ἔχοι θριαμβεύων ἐπὶ τῇ ἀπωλείᾳ τῶν ἐν τῇ κωμοπόλει ταύτῃ ψυχῶν. | 9*

*Ταύτῃ τοι, καὶ πόνοις ἀτρύτοις καὶ ἐπιμελείᾳ διηνεκεῖ, μόλις ποτὲ μετὰ παρέλευσιν τοσούτων ἐτῶν | 10 ἠδυνήθημεν ἐκπορίσαι ἴασιν τοῦ κακοῦ καὶ καταφοίτησιν τοῦ θείου λόγου. Ἐκπορισάμεθα δ' οὕτω. τὰ | 11 εἰσοδήματα τῶν ἐν τῇ κωμοπόλει ταύτῃ δύο ἐκκλησιῶν, τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου | 12 τῆς Κοιμήσεως, καὶ τοῦ ἐν Ἁγίοις ἡμῶν Νικολάου Μύρων τῆς Λυκίας τοῦ Θαυματουργοῦ, καλῶς | 13 οἰκονομηθέντα παρὰ τῆς ἐμῆς ἐλαχιστότητος, Θεοῦ συναιρομένου, ἔφθασαν εἰς ποσότητα πέντε ταλάντων, | 14 ἅτινα καὶ ἀφιερώθησαν τῷ Θεῷ καὶ τῇ Σχολῇ, τῇ ἐμῇ τε καὶ κοινῇ τῶν χριστιανῶν γνώμῃ, ἵνα | 15 ὁ κατ' ἔτος αὐτῶν τόκος ἔχῃ διδόσθαι, τῷ μὲν διδασκάλῳ μισθὸς γρόσια διακόσια, ᾧ τινι | 16 καὶ ὀφείλεται ἀπαραιτήτως ὁμιλεῖν ἀπ' ὀκρίβαντος τῇ τε μεγάλῃ τεσσαρακοστῇ καὶ τῇ τῶν | 17 Χριστουγέννων καὶ παιδεύειν τὴν Ἑλλάδα φωνὴν τοὺς φοιτῶντας αὐτῷ μαθητάς, τῷ δὲ πνευματικῷ | 18 πεντήκοντα ἕτερα πρὸς διόρθωσιν τῶν χριστιανικῶν ψυχῶν τῶν ἐν τῇ αὐτῇ πολιτείᾳ, ὅπως | 19 τῶν δύο τουτωνὶ μέσων συνελθόντων καὶ ἐνδελεχῶς ἐνεργουμένων γένηται ἀνυσθῆναί τι | 20 τῷ Θεῷ φίλον καὶ τοῖς ἐνοικοῦσι χριστιανοῖς ψυχωφελὲς καὶ σωτήριον, ἀλλ' ἵνα μὴ πάλιν | 21 τὰ τοῦ πονηροῦ πονηρὰ μηχανήματα χώραν λαβόντα καταλυθῇ ποτε τουτὶ τὸ ψυχωφελὲς ἔργον καὶ ὁ | 22 πολὺς ἐμοῦ τε καὶ τῶν χριστιανῶν κάματος καὶ εἰς τὸ μὴ ὂν χωρήσῃ, ἀλλὰ σώζηται καὶ τοῖς μετέπειτα | 23 τὸ αὐτὸ ὡς καὶ νῦν ἔχῃ, διὰ τοῦτο θείῳ ζήλῳ κινούμενος καὶ τῇ παντευχίᾳ τοῦ Παναγίου καὶ | 24 τελεταρχικοῦ Πνεύματος φρασσόμενος, ἀποφαίνομαι τῇ ἐξουσίᾳ τοῦ αὐτοῦ Πνεύματος ὅτι, εἰ μὲν αὐτὸς ἐγὼ | 25 εἴην ὁ τἀναντία ἐν ὅσῳ τὸ ζῆν μοι περίεστι τῶν νῦν βουλευσόμενος, εἴην ἀνάθεμα καὶ ὑπὸ | 26 ταῖς*

---

*11 δύω 14 ἐμοὶ 17 τοῖς 20 ψυχοφελὲς 21 ψυχοφελὲς 23 ἔχει*

*ἀποστολικαῖς ἀραῖς καὶ πνευματικαῖς, εἰ δὲ πάλιν τις τῶν χριστιανῶν, εἰ χρὴ εἰπεῖν τὸν τοιοῦτον | 27 χριστιανόν, ὑπὸ τοῦ πατρὸς αὐτοῦ τοῦ διαβόλου κινηθείς, ὁποίας ποτὲ τάξεως εἴη, ἄλλως φρονήσει καὶ τὰ εἰς τὴν σχολὴν καθοσιωθέντα χρήματα ἀφαιρέσει καὶ ἀποσπάσει | 28 τόν τε ἐπὶ μισθῷ τοῦ διδασκάλου καὶ πνευματικοῦ τόκον χρημάτων ἐπὶ οἱαδήποτε ἄλλῃ | 29 ἀνάγκῃ τῆς πολιτείας ἢ ὑποθέσει κοσμικῇ καταναλώσει, ἢ ἑτέρῳ τινὶ καθαίρεσιν καὶ | 30 κατάλυσιν συμβουλεύσει, ἢ ὅλως συμφωνήσει, (47) ἢ δὲν ἤθελε συνδρομήσῃ καὶ ἐπιμεληθῇ, ὥστε | 31 δίδοσθαι κατ' ἔτος τὸν μισθὸν τοῦ διδασκάλου καὶ πνευματικοῦ, ἵνα μὴ μένῃ τὸ καλὸν αἰώνιον, ὁ τοιοῦτος, εἰ μὲν | 32 τοῦ ἱερατικοῦ καταλόγου εἴη, ἔστω ἀνάθεμα καὶ αὐτοκαθαίρετος ἔξω τῆς Χριστοῦ ἐκκλησίας καὶ τῷ | 33 αἰωνίῳ πυρὶ ὑπόδικος, εἰ δὲ λαϊκός, ἀφωρισμένος εἴη παρὰ τῆς Παναγίας, Ὁμοουσίου, Ζωοποιοῦ καὶ | 34 ἀδιαιρέτου Τριάδος, τοῦ ἑνὸς τῇ φύσει Θεοῦ κυρίου Παντοκράτορος, κατηραμένος, ἀσυγχώρητος, καὶ μετὰ | 35 θάνατον ἄλυτος καὶ τυμπανιαῖος, κληρονομήσειε τὴν λέπραν τοῦ Γιεζῆ καὶ τὴν ἀγχόνην τοῦ προδότου | 36 Ἰούδα, σχισθεῖσα ἡ γῆ καταπίοι αὐτὸν ὡς τὸν Ναθὰν καὶ Ἀβειρών, ἡ μερὶς αὐτοῦ εἴη μετὰ τῶν | 37 θεοκτόνων Ἰουδαίων τῶν σταυρωσάντων τὸν Κύριον τῆς δόξης, κατηραμένος ἔστω καὶ ὁ εἰσερχόμενος | 38 ἐν τῇ οἰκίᾳ αὐτοῦ καὶ ὁ ἐξερχόμενος, τὰ ὑπάρχοντα αὐτοῦ ἔστωσαν εἰς διαρπαγήν, συνεκλειπέτωσαν | 39 ἐκ τῆς οἰκίας αὐτοῦ, ὡς ἐκλείπει καπνὸς ἀπὸ προσώπου πυρός, ἐν γενεᾷ μιᾷ ἐξαλειφθείη | 40 τὸ ὄνομα αὐτοῦ, ἔστωσαν τὰ τέκνα αὐτοῦ ὀρφανὰ καὶ ἡ γυνὴ αὐτοῦ χήρα, ἄγγελος Σατὰν προπορευέσθω | 41 ἔμπροσθεν αὐτοῦ, γένοιτο ἔμπνους κατάβρωμα τῶν σκωλήκων, στένων καὶ τρέμων | 42 ἐπὶ τῆς γῆς ὡς ὁ Κάϊν, πρόσωπον Θεοῦ οὐ μὴ ἴδοι, εἴη ὑπόδικος τῷ αἰωνίῳ ἀναθέματι καὶ | 43 ὑπέκκαυμα τῆς ἀτελευτήτου κολάσεως, ἔχοι καὶ τὰς ἀρὰς ἁπάντων τῶν Οἰκουμενικῶν Συνόδων | 44 καὶ λοιπῶν ἁγίων πατέρων. Τῷ αὐτῷ ἀναθέματι ἔστωσαν ὑπεύθυνοι καὶ ὑπὸ ταῖς αὐταῖς | 45 συνοδικαῖς καὶ πατριαρχικαῖς ἀραῖς καὶ ὅστις τῶν μετ' ἐμὲ ἀρχιερευσόντων ἐπισκόπων | 46 καὶ τῶν ὑπ' αὐτῶν ποιμανθησομένων χριστιανῶν, ἂν ἄλλως φρονήσωσι καὶ τὰ παρόντα καλῶς τε | 47 καὶ θεοφιλῶς κυρωθέντα ἀνατρέψωσι. Ἐγένετο καὶ ὑπεγράφη κατὰ τὸ ἐπὶ θεογονίας σωτήριον αψογ' ἔτος κατὰ μῆνα Ἰούλιον α'.*

*Ὁ Σερβίων καὶ Κοζάνης Ἰγνάτιος, ὑποβεβαιοῖ καὶ ὑπόσχεται*
*Ὁ Σακελλάριος Χαρίσιος ἱερεὺς ὑπόσχομαι*
*Ὁ Δευτερεύων Εὐστάθιος ἱερεὺς ὑπόσχομαι*
*Ὁ Χριστόδουλος ἱερεὺς ὑπόσχομαι*
*Ὁ Ἀναστάσιος ἱερεὺς ὑπόσχομαι*
*Ὁ Πλουμῆς ἱερεὺς ὑπόσχομαι*
*Ὁ Λογοθέτης Δήμου Γεωργίου ὑπόσχομαι*
*Ὁ Χ. Λοΐζης ἄρχων τῆς ἐκκλησίας ὑπόσχομαι*
*Ὁ Εὐστάθιος Γεωργίου ὑπόσχομαι*

---

26 *ἐχρὴ*  30 *συνδρομήσει*  33 *ἀφορισμένος*  36 *κληρονομήσει*  43 *ἔχοιε*

*Ὁ Ἀντώνιος τοῦ Παπαζήση ὑπόσχομαι*
*Ὁ Ἰωάννης τοῦ Χατζῆ ὑπόσχομαι*
*Ὁ Ἀγοραστὸς τοῦ Μανουὴλ ὑπόσχομαι*
*Ὁ Κυργιαζῆς Χ. Γεωργίου ὑπόσχομαι*
*Ὁ Χαρίσης Σταμάτι ὑπόσχομαι*
*Ὁ Νέστορας Τζόλη ὑπόσχομαι*
*Ὁ Δημήτρης Γεωργίου ὑπόσχομαι*
*Ὁ Ζήσης Δήμου ὑπόσχομαι*
*Ὁ Σταμάτης Χριστοδούλου ὑπόσχομαι*
*Ὁ Εὐθύμιος Οἰκονόμου ὑπόσχομαι*
*Ὁ Γεώργιος τοῦ Παπακωνσταντίνου ὑπόσχομαι*
*Ὁ Ἰωάννης τοῦ Χριστοδούλου ὑπόσχομαι*
*Ὁ Γεώργιος Δήμου ὑπόσχομαι*
*Ὁ Παπαμανουὴλ ὑπόσχομαι*

2.

Κῶδιξ ἀριθ. 173, Δημοτικῆς Βιβλιοθήκης Κοζάνης, Ἐπισκοπῆς Σερβίων καὶ Κοζάνης, σελ. 48 - 50.

*Ἴσον ἀπαράλλακτον τοῦ σιγιλλιώδους γράμματος περὶ τῆς ἐν Βελβενδῷ Ἑλληνικῆς σχολῆς.*

*Σαμουὴλ ἐλέῳ Θεοῦ Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ρώμης καὶ Οἰκουμενικὸς Πατριάρχης*

*Τῶν εἰς κοινὴν ὠφέλειαν τοῦ ἡμετέρου γένους ἀφορώντων, ὅσα μάλιστα συντελεῖ πρὸς τὴν τοῦ νοὸς | 1 τελειότητα, ἥτις ἐστὶν ὁ ἀληθὴς τῆς ψυχῆς κόσμος, τούτων δήποθεν ἡ πρόνοια καὶ φροντίς, τοῦ | 2 μὴ μόνον εἰς πέρας ἀγαθοῦ ἀφικέσθαι, ἀλλὰ καὶ διαμεῖναι ἀνεξάλειπτα, προηγουμένοις τοῖς | 3 προστάταις τῆς ἁγίας τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας, ὀφείλεται, ἀποδεχομένοις τε εὐμενῶς τά τε τοιαῦτα | 4 θεοφιλῆ ἔργα καὶ τὴν ἐφαρμόζουσαν ἐπιχορηγοῦσι σύστασιν. Ὅτι μὲν οὖν ἡ παιδεία τῶν ἐν τῷδε τῷ | 5 βίῳ ἁπάντων τὸ τιμιώτατον καὶ περισπούδαστον πέφυκε, τὸν λογικῇ ψυχῇ παρὰ Θεοῦ τετιμημένον | 6 ἄνθρωπον αὕτη κατὰ λόγον βιοῦν ἐκπαιδεύουσα καὶ οἷον ἐν φωτὶ ἀπροσκόπτως | 7 παρασκευάζουσα καὶ πρὸς πᾶν εἶδος ἐπιστημῶν χειραγωγοῦσα καὶ τὴν τῶν ὄντων γνῶ | 8σιν χαριζομένη καὶ τὰ θεῖα καὶ ἀνθρώπινα ἐκδιδάσκουσα, τῶν ὁμολογουμένων καθέστηκε, | 9 τοῦ δὲ τοιούτου θεοδωρήτου καὶ ἀξιεράστου χρήματος τὴν κτῆσιν οὐκ ἄλλως ἔχομεν πορίσασθαι, εἰ μὴ | 10 διὰ τῆς διδασκαλίας καὶ παραδόσεως. Ταῦτ' ἄρα τῶν ἀναγκαιοτάτων καθέστηκε μάλα προθύ | 11μως συνεργεῖν καὶ τὸν ἐνόντα τρόπον ἀντιλαμβάνεσθαι τῶν περὶ τοῦ φροντιστηρίου ἀμφιπονού | 12των καὶ ζῆλον θεῖον ἐνδεικνυμένων. Ἐπειδὴ τοιγαροῦν, ὡς ἀνηνέχθη καὶ ἐδηλοποιήθη ἡμῖν, οἱ | 13 ἐν χώρᾳ Βελβεντῷ οὕτω καλουμένῃ, κατὰ τὴν ἐπιστολὴν Σερβίων, οἰκοῦντες Χριστιανοί, σχολῆς καὶ | 14 διδασκάλων ἀμοιροῦντες, διῆγον ἐν ἀμα-*

---

*11 τοῦ 12 ἐνδυκνυμένων ἐδηλωποιήθη*

θείᾳ καὶ ἀπαιδευσίᾳ ἐσχάτῃ, τῶν τῆς παιδείας καλῶν πάμπαν | [15] ἀμύητοι ὄντες, ὁ δὲ κατὰ τόπον ἀρχιερεύς, θεοφιλέστατος ἐπίσκοπος Σερβίων, ἐν Ἁγίῳ Πνεύματι ἀγα | [16]πητὸς ἀδελφὸς καὶ συλλειτουργὸς τῆς ἡμῶν μετριότητος κὺρ Ἰγνάτιος, παιδείᾳ ἔρωτα τρέφων καὶ | [17] θείῳ ζήλῳ κεκινημένος, πρὸς ὠφέλειαν τῶν ὑπ᾽ αὐτοῦ ποιμενομένων εὐσεβῶν, προτεθύμηται συστήσασθαι φροντιστήριον τῶν ἑλληνικῶν μαθημάτων, εἰς γύμνασιν καὶ παιδείαν τῶν ἐκεῖσε νέων | [18] προκοπήν τε καὶ ὡραϊσμὸν τῶν χριστιανῶν τῆς αὐτῆς χώρας, | [19] τὰ μὲν οὖν πρῶτα πόρον ἐξευρεῖν διηνεκῆ εἰς σύστασιν τῶν μελετωμέτων φροντιστηρίων ἀναγκαῖον ἡ | [20]γησάμενος, ᾠκονόμησε καλῶς καὶ θεοφιλῶς τὰς προσόδους τῶν ἐκεῖσε δύο ἐκκλησιῶν, σεμνυ | [21]νομένων τῆς μὲν ἐπὶ τῇ Κοιμήσει τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, τῆς δὲ ἐπ᾽ ὀνόματι τοῦ | [22] ἐν ἁγίοις πατρὸς ἡμῶν Νικολάου, ὥστε ἐν διαστήματι χρόνων τινῶν συμποσωθῆναι τὰ περι | [23]σεύσαντα ἀπὸ προσόδων τῶν αὐτῶν ἐκκλησιῶν εἰς ἄλλα πέντε τάλαντα, πουγγεῖα | [24] δηλαδή, ἅτινα κοινῇ καὶ ὁμοφώνῳ γνώμῃ τῶν τε εὐλαβεστάτων ἱερέων καὶ τιμίων γερόντων τῆς αὐτῆς | [25] χώρας ἀφιερώθησαν τῇ ἐν αὐτῇ νεωστὶ συγκροτηθείσῃ σχολῇ, ἐπὶ συνθήκαις τοιαύταις,(49) | [26] ὅπως αὐτὰ μὲν τὰ πέντε τάλαντα καλῶς διοικούμενα μένωσιν ἀναφαίρετα καὶ ἀπαραμείωτα, τὸ δὲ ἐξ αὐ | [27]τῶν κέρδος ἔχῃ δαπανᾶσθαι εἰς τὰ τῇ σχολῇ χρειώδη, ὥστε τῷ μὲν διδασκάλῳ, δοκιμαζομένῳ ἐπὶ τῇ | [28] παιδείᾳ καὶ βίου σεμνότητι ὑπὸ τοῦ κατὰ τόπον ἀρχιερέως καὶ παραδιδόναι ὀφείλοντι ἐπιμε | [29]λῶς τὰ γραμματικὰ καὶ λοιπὰ τῶν ἐγκυκλίων μαθημάτων, καὶ δὴ καὶ κηρύττειν καὶ ὅταν δύναται ἀπ᾽ ἄμ | [30]βωνος καὶ ὀρθοτομεῖν τὸν λόγον τοῦ ἱεροῦ εὐαγγελίου κατὰ τὰς ἑορτασίμους καὶ νηστησίμους τῶν ἡμερῶν, δί | [31]δοσθαι διακόσια γρόσια κατ᾽ ἔτος, πεντήκοντα δὲ τῷ πνευματικῷ παρὰ τῆς κοινότητος τῆς αὐτῆς χώρας. ταῦ | [32]τα γοῦν οὕτω συνθέμενοι καὶ γράμμασιν ἰδίοις ἀσφαλισάμενοι προσέδραμον καὶ τῇ προνοίᾳ τῆς καθ᾽ ἡ | [33]μᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας καὶ ἐδεήθησαν ἐπικυρωθῆναι καὶ δι᾽ ἡμετέρου Πατριαρχικοῦ καὶ συνοδι | [34]κοῦ γράμματος, ὅπως διαμένῃ τὸ καλὸν τοῦτο διαπαντὸς ἐνεργούμενον ἐν τῇ χώρᾳ ταύτῃ εἰς κοινὴν τῶν[35] ἐν αὐτῇ Χριστιανῶν ὠφέλειαν. Ὧν τὴν αἴτησιν ὡς τὰ μάλιστα ἐπαινετὴν καὶ Θεῷ κεχαρισμένην | [36] ἑτοίμως ἀποδεξάμενοι καὶ ἐπευξάμενοι τὰ εἰκότα τοῖς εἰς τοιοῦτον κοινωφελὲς καλὸν μοχθήσασι, γρά | [37]φομεν καὶ ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων | [38] τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τῇ κοινῇ γνώμῃ καὶ συναινέ | [39]σει τοῦ τε κατὰ τόπον ἀρχιερέως, θεοφιλεστάτου ἐπισκόπου Σερβίων, ἐν ἁγίῳ πνεύματι ἀγαπητοῦ ἡμῶν ἀδελ | [40]φοῦ καὶ συλλειτουργοῦ κὺρ Ἰγνατίου, καὶ τῶν εὐλαβεστάτων ἱερέων καὶ χρησίμων γερόντων τῆς αὐτῆς χώ | [41]ρας, Βελβεντὸ καλουμένης, συντεθέντων καὶ γράμμασιν ἐνσημανθέντων περὶ τῆς συστάσεως τοῦ νεωσ | [42]τὶ ἐκεῖσε συγκροτηθέντος σχολείου, ἐχόντων τὸ κῦρος

---

20 δῦω    36 κοινοφελὲς

*καὶ τὴν ἰσχὺν ἀπαράτρεπτον καὶ ἀδιά | [43]σειστον καὶ δὴ καὶ τῶν ἀφιερωθέντων πέντε ταλάντων μενόντων ἀναφαιρέτων καὶ ἀναποσπά | [44]στων, ἔχῃ ὁ ἐξ αὐτῶν τόκος δαπανᾶσθαι καθ' ὃν εἴρηται τρόπον, ὥστε διακόσια γρόσια λαμβά | [45]νειν κατ' ἔτος τὸν διδάσκαλον τοῦ σχολείου, παραδιδόναι ἔχοντα ἀόκνως καὶ ἐπιμελῶς τὰ | [46] γραμματικὰ καὶ λοιπὰ τῶν ἐγκυκλίων μαθημάτων καὶ κηρύττειν ἀπ' ἄμβωνος τὸν λόγον τοῦ | [47] ἱεροῦ εὐαγγελίου, ὡς εἴρηται, εἰς ὠφέλειαν τῶν ἐκεῖσε χριστιανῶν προκοπήν τε καὶ ἐπίδο | [48]σιν ἐφορώντων καὶ ἐπιστατούντων, τοῦ τε κατὰ τόπον ἀρχιερέως καὶ τῶν προεστώτων καὶ γερόν | [49]των τῆς αὐτῆς χώρας καὶ κατὰ Θεὸν διοικούντων τὰ τοῦ σχολείου τούτου ἐπὶ τῷ μένειν ἀδιάσπα | [50]στον καὶ ἀνέκλεπτον εἰς τὸ διηνεκές. ὅστις δὲ καὶ ὁποῖος τῶν ἁπάντων τολμήσει δια | [51]σεῖσαι τὰ περὶ τοῦ σχολείου τούτου καὶ ἀφελέσθαι τὰ ἀφιερωθέντα χρήματα ἢ τὸ ἐξ αὐτῶν | [52] κέρδος καὶ οἱανδήτινα ἐπήρειαν καταγαγεῖν καὶ παρεμποδίσαι τὸ καλὸν τοῦτο, ὁ τοι | [53]οῦτος, ὡς κακότροπος καὶ ἀθεόφοβος καὶ ἐχθρὸς καὶ πολέμιος τῆς τῶν ὁμογενῶν | [54] ὠφελείας καὶ ἄντικρυς θεομάχος, ἀφωρισμένος εἴη παρὰ τῆς ἁγίας καὶ ὁμοουσίου | [55] καὶ ζωοποιοῦ καὶ ἀδιαιρέτου τριάδος, τοῦ ἑνὸς τῇ φύσει Θεοῦ, καὶ κατηραμένος καὶ ἀσυγ | [56]χώρητος καὶ ἄλυτος μετὰ θάνατον καὶ τυμπανιαῖος, στένων εἴη καὶ τρέμων ἐπὶ | [57] τῆς γῆς ὡς ὁ Κάϊν, ἡ ὀργὴ τοῦ Θεοῦ εἴη ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ ἡ μερὶς αὐτοῦ μετὰ | [58]τοῦ προδότου Ἰούδα, καὶ προκοπὴ Θεοῦ οὐ μὴ ἴδῃ πώποτε, οὐδὲ πρόσωπον Θεοῦ, εἴη δὲ | [59]καὶ πάσαις ταῖς Πατριαρχικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπεύθυνος καὶ ἔνοχος τοῦ πυρὸς τῆς γεένης. | [60]ὅθεν εἰς διηνεκῆ ἔνδειξιν καὶ ἀσφάλειαν ἐγένετο τὸ παρὸν ἡμέτερον πατριαρχικὸν συνο | [61]δικὸν σιγιλλιῶδες ἐν μεμβράναις γράμμα καὶ ἐπεδόθη τῇ νεωστὶ συγκροτηθείσῃ σχολῇ ἐν | [62] τῇ χώρᾳ Βελβεντῷ κατὰ τὴν ἐπισκοπὴν Σερβίων ἐν ἔτει σωτηρίῳ α ψ ο δ' κατὰ μῆνα Ἰούνιον ἐπὶ νεμέσεως ἑβδόμης.*

*Σαμουὴλ ἐλέῳ Θεοῦ Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης*

*Ὁ Ἐφέσου Μελέτιος*
*Ὁ Ἡρακλείας Μεθόδιος*
*Ὁ Κυζίκου Γεράσιμος*
*Ὁ Νικαίας Ἄνθιμος*
*Ὁ Δέρκων Ἀνανίας*
*Ὁ Θεσσαλονίκης Δαμασκηνὸς*
*Ὁ Ἀδριανουπόλεως Νικηφόρος*
*Ὁ Φιλιππουπόλεως Σαμουὴλ*
*Ὁ Μεσημβρίας Μακάριος*
*Ὁ Δρύστρας Παρθένιος*
*Ὁ Βεζύης Γεράσιμος*
*Ὁ Βάρνης Νεόφυτος*
*Ὁ Ξάνθης Φιλάρετος*

---

50 *τολμήση* 52 *οἰονδήτινα* 61 *συγκρωτηθείση*

*Ὁ Σαμακοβίου Νεόφυτος*
*Ὁ Ἀγαθουπόλεως Νεόφυτος*
*Ὁ Κώου Καλλίνικος*
*Ὁ Σερβίων καὶ Κοζάνης Ἰγνάτιος*

*Κοζάνη 1964*

Ν. Π. ΔΕΛΙΑΛΗΣ

## ΒΙΒΛΙΟΓΡΑΦΙΑ


Μανουὴλ Γεδεών: Πατριαρχικοὶ Πίνακες. Ἀπὸ Ἀνδρέου τοῦ Πρωτοκλήτου μέχρι Ἰωακεὶμ Γ΄ τοῦ ἀπὸ Θεσσαλονίκης, σελ. 663.

Ἀ. Σιγάλα: Ἀπὸ τὴν πνευματικὴν ζωὴν τῶν ἑλληνικῶν Κοινοτήτων τῆς Μακεδονίας. Παράρτημα Δ΄ Τόμου Ἐπετηρίδος Φιλοσοφικῆς Σχολῆς, Θεσσαλονίκη 1939, σελ. 98.

Π. Λιούφη, Ἱστορία Κοζάνης. Ἀθῆναι 1924, σελ. 57.

Μ. Καλιντέρη, Σημειώματα Ἱστορικά. Πτολεμαΐς, 1939, σελ. 10.

Μ. Καλιντέρη: Γραπτὰ μνημεῖα ἀπὸ τὴ Δυτικὴ Μακεδονία χρόνων Τουρκοκρατίας. Πτολεμαΐς 1940, σελ. 22, ὅπου ἀναφέρεται τὸ Βελβεντὸν εἰς τὸν κώδικα ἀρ. 124 τῆς Δημοτικῆς Βιβλιοθήκης Κοζάνης.

Τρύφωνος Ε. Εὐαγγελίδου: Ἡ Παιδεία ἐπὶ Τουρκοκρατίας. Τόμ. πρῶτος, Ἀθῆναι 1938, σελ. 103. Δὲν ἀναφέρει περὶ τῆς ἱδρύσεως τοῦ σχολείου ἐπὶ Ἰγνατίου κατὰ τὸ 1774.



Κῶδιξ Βελβενδοῦ (Κοζάνη 116), σελ. 240.



Κῶδιξ Βελβενδοῦ (Κοζάνη 116), σελ. 248.